eul_wid: boa-ab

*Πίνδαρος* · Pindar

# Olympic Victors

## *Ὀλυμπιονῖκαι*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρὶς λογοτεχνική* Literary Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 .

book 1.5.1 μηκέτ’ ἀελίου σκόπει
book 1.5.2 ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεν-
book 1.6.1 νὸν ἄστρον ἐρήμας δι’ αἰθέρος,
book 1.6.2 μηδ’ ’Ολυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·
book 1.6.3 ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
book 1.6.4 σοφῶν μητίεσσι, κελαδεῖν
book 1.10.1 Κρόνου παῖδ’ ἐς ἀφ˙νεὰν ἱκομένους
book 1.10.2 μάκαιραν ‘Ιέρωνος ἑστίαν,
book 1.10.3 θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμήλῳ
book 1.10.4 Σικελίᾳ δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
book 1.10.5 ἀγ˙λαΐζεται δὲ καί
book 1.15.1 μουσικᾶς ἐν ἀώτῳ,
book 1.15.2 οἷα παίζομεν φίλαν
book 1.15.3 ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν. ἀλλὰ Δω-
book 1.17.1 ρίαν ἀπὸ φόρμιγγα πασσάλου
book 1.17.2 λάμβαν’, εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις
book 1.17.3 νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
book 1.20.1 ὅτε παρ’ Ἀλφεῷ σύτο δέμας
book 1.20.2 ἀκέντητον ἐν δρόμοισι παρέχων,
book 1.20.3 κράτει δὲ προσέμειξε δεσπόταν,
book 1.20.4 Συρακόσιον ἱπποχάρ-
book 1.23.1 μαν βασιλῆα· λάμπει δέ οἱ κλέος
book 1.23.2 ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·
book 1.25.1 τοῦ μεγασθενὴς ἐράσσατο Γαιάοχος

book 1.25.2 Ποσειδάν, ἐπεί νιν καθαροῦ λέβη-
book 1.26.1 τος ἔξελε Κλωθώ,
book 1.26.2 ἐλέφαντι φαίδιμον ὦμον κεκαδˈμένον.
book 1.26.3 ἦ θαύματα πολλά, καί πού τι καὶ βροτῶν
book 1.28b φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον
book 1.29 δεδαιδαλμένοι ψεύδεσι ποικίλοις
book 1.29 ἐξαπατῶντι μῦθοι.
book 1.30.1 Χάρις δ’, ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
book 1.30.2 ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστόν
book 1.30.3 ἔμμεναι τὸ πολλάκις·
book 1.30.4 ἁμέραι δ’ ἐπίλοιποι
book 1.30.5 μάρτυρες σοφώτατοι.
book 1.35 ἔστι δ’ ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαι-
book 1.35.1 μόνων καλά· μείων γὰρ αἰτία.
book 1.35.2 υἱὲ Ταντάλου, σὲ δ’ ἀντία πˈροτέρων φθέγξομαι,
book 1.35.3 ὁπότ’ ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
book 1.35.4 ἐς ἔρανον φίλαν τε Σίπυλον,
book 1.35.5 ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
book 1.40.1 τότ’ Ἀγˈλαοτρίαιναν ἁρπάσαι,
book 1.40.2 δαμέντα φˈρένας ἱμέρῳ, χρυσέαισί τ’ ἀν’ ἵπποις
book 1.40.3 ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι·
book 1.40.4 ἔνθα δευτέρῳ χρόνῳ
book 1.40.5 ἦλθε καὶ Γανυμήδης
book 1.45.1 Ζηνὶ τωὔτ’ ἐπὶ χˈρέος.
book 1.45.2 ὡς δ’ ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολ-
book 1.46 λὰ μαιόμενοι φῶτες ἄγαγον,
book 1.1 ἔννεπε κˈρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
book 1.2 ὕδατος ὅτι τε πυρὶ ζέοισαν εἰς ἀκμάν
book 1.3 μαχαίρᾳ τάμον κατὰ μέλη,
book 1.1 τραπέζαισί τ’ ἀμφὶ δεύτατα κρεῶν
book 1.2 σέθεν διεδάσαντο καὶ φάγον.
book 1.3 ἐμοὶ δ’ ἄπορα γαστρίμαρ-
book 1.52.1 γον μακάρων τιν’ εἰπεῖν· ἀφίσταμαι·
book 1.52.2 ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
book 1.52.3 εἰ δὲ δή τιν’ ἄνδρα θνατὸν Ὀλύμπου σκοποί
book 1.55 ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλ-
book 1.55.1 λὰ γὰρ καταπέψαι
book 1.55.2 μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ’ ἕλεν
book 1.55.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄταν ὑπέροπˈλον, ἅν τοι πατὴρ ὕπερ
book 1.57b κρέμασε καρτερὸν αὐτῷ λίθον,
book 1.58 τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν
book 1.58 —εὐφροσύνας ἀλᾶται.
book 1 ἔχει δ’ ἀπ̄άλαμον βίον τοῦτον ἐμπεδόμοχθον
book 1.60.1 μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτους ὅτι κλέψαις
book 1.60.2 ἁλίκεσσι συμπόταις
book 1.60.3 νέκταρ ἀμβροσίαν τε
book 1.60.4 δῶκεν, οἷσιν ἄφθιτον
book 1.60.5 θέν νιν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί
book 1.64 〈τι〉 λαθέμεν ἔρδων, ἁμαρτάνει.
book 1.65.1 τοὔνεκα {οἱ} πˈροῆκαν υἱὸν ἀθάνατοί 〈οἱ〉 πάλιν
book 1.65.2 μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
book 1.65.3 πρὸς εὐάνθεμον δ’ ὅτε φυάν
book 1.65.4 λάχναι νιν μέλαν γένειον ἔρεφον,
book 1.65.5 ἑτοῖμον ἀνεφρόντισεν γάμον
book 1.70 Πισάτα παρὰ πατˈρὸς εὔδοξον Ἱπποδάμειαν
book 1.1 σχεθέμεν. ἐγγὺς {δ’} ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
book 1.2 ἄπυεν βαρύκτυπον
book 1.3 Εὐτρίαιναν· ὁ δ’ αὐτῷ
book 1.4 πὰρ ποδὶ σχεδὸν φάνη.
book 1.75 τῷ μὲν εἶπε· ‘Φίλια δῶρα Κυπˈρίας
book 1.75.1 ἄγ’ εἴ τι, Ποσείδαον, ἐς χάριν
book 1.75.2 τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
book 1.75.3 ἐμὲ δ’ ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
book 1.75.4 ἐς Ἆλιν, κράτει δὲ πέλασον.
book 1.75.5 ἐπεὶ τρεῖς τε καὶ δέκ’ ἄνδρας ὀλέσαις
book 1.80.1 μναστῆρας ἀναβάλλεται γάμον
book 1.80.2 θυγατˈρός. ὁ μέγας δὲ κίν-
book 1.81.1 δυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
book 1.81.2 θανεῖν δ’ οἷσιν ἀνάγκα, τά κέ τις ἀνώνυμον
book 1.81.3 γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
book 1.81.4 ἁπάντων καλῶν ἄμμορος; ἀλλ’ ἐμοὶ
book 1.84 μὲν οὗτος ἄεθˈλος
book 1.85.1 ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.‘
book 1.85.2 ὣς ἔννεπεν· οὐδ’ ἀκράντοις ἐφάψατο
book 1.86b ἔπεσι. τὸν μὲν ἀγάλλων θεός
book 1.87 ἔδωκεν δίφρον τε χˈρύσεον πτεροῖ-
book 1.87

σίν τ’ ἀκάμαντας ἵππους.
book 1.1 ἕλεν δ’ Οἰνομάου βίαν παρθένον τε σύνευνον·
book 1.2 ἔτεκε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
book 1.90.1 νῦν δ’ ἐν αἱμακουρίαις
book 1.90.2 ἀγˈλααῖσι μέμικται,
book 1.90.3 Ἀλφεοῦ πόρῳ κλιθείς,
book 1.90.4 τύμβον ἀμφίπολον ἔχων πολυξενω-
book 1.93.1 τάτῳ παρὰ βωμῷ· τὸ δὲ κˈλέος
book 1.93.2 τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
book 1.95.1 Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
book 1.95.2 ἀκμαί τ’ ἰσχύος θρασύπονοι·
book 1.95.3 ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
book 1.95.4 ἔχει μελιτόεσσαν εὐδίαν
book 1.95.5 ἀέθˈλων γ’ ἕνεκεν· τὸ δ’ αἰεὶ παράμερον ἐσλόν
book 1.1 ὕπατον ἔρχεται παντὶ βροτῶν. ἐμὲ δὲ στεφανῶσαι
book 1.2 κεῖνον ἱππίῳ νόμῳ
book 1.3 Αἰοληΐδι μολπᾷ
book 1.4 χρή· πέποιθα δὲ ξένον
book 1.5 μή τιν’ ἀμφότερα καλῶν τε ἴδˈριν ἅ-
book 1.104 μα καὶ δύναμιν κυριώτερον
book 1.105.1 τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
book 1.105.2 θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
book 1.105.3 ἔχων τοῦτο κᾶδος, Ἱέρων,
book 1.105.4 μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
book 1.105.5 ἔτι γˈλυκυτέραν κεν ἔλπομαι
book 1.110 σὺν ἅρματι θοῷ κλεΐ-
book 1.110.1 ξειν ἐπίκουρον εὑρὼν ὁδὸν λόγων
book 1.110.2 παρ’ εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
book 1.110.3 Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·
book 1.110.4 ἄλλοισι δ’ ἄλλοι μεγάλοι· τὸ δ’ ἔ-
book 1.113.1 σχατον κορυφοῦται
book 1.113.2 βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
book 1.115 εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν,
book 1.115b ἐμέ τε τοσσάδε νικαφόροις
book 1.116 ὁμιλεῖν πρόφαντον σοφίᾳ καθ’ Ἕλ-
book 1.116 λανας ἐόντα παντᾷ.
book 2 .
book 2.3.1 δ’ ἔστασεν Ἡρακˈλέης
book 2.3.2

ἀκˈρόθινα πολέμου·
book 2.5.1 Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
book 2.5.2 γεγωνητέον, ὄπῑ δίκαιον ξένων,
book 2.6.1 ἔρεισμ’ Ἀκˈράγαντος,
book 2.6.2 εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·
book 2.6.3 καμόντες οἳ πολλὰ θυμῷ
book 2.6.4 ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ’ ἔσαν
book 2.10 ὀφθαλμός, αἰὼν δ’ ἔφεπε μόρσιμος,
book 2.10.1 πλοῦτόν τε καὶ χάριν ἄγων
book 2.10.2 γνησίαις ἐπ’ ἀρεταῖς.
book 2.10.3 ἀλλ’ ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
book 2.10.4 ἀέθˈλων τε κορυφὰν πόρον τ’ Ἀλφεοῦ,
book 2.13.1 ἰανθεὶς ἀοιδαῖς
book 2.13.2 εὔφρων ἄρουραν ἔτι πατˈρίαν σφίσιν κόμισον
book 2.15.1 λοιπῷ γένει. τῶν δὲ πεπˈραγμένων
book 2.15.2 ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ’ ἄν
book 2.15.3 Χρόνος ὁ πάντων πατὴρ
book 2.17.1 δύναιτο θέμεν ἔργων τέλος·
book 2.17.2 λάθα δὲ πότˈμῳ σὺν εὐδαίμονι γένοιτ’ ἄν.
book 2.17.3 ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνᾐσκει
book 2.20 ⸏παλίγκοτον δαμασθέν,
book 2 ὅταν θεοῦ Μοῖρα πέμπῃ
book 2.1 ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
book 2.2 Κάδˈμοιο κούραις, ἔπαθον αἳ μεγάλα·
book 2.23.1 πένθος δὲ πίτˈνει βαρύ
book 2.23.2 κρεσσόνων πρὸς ἀγαθῶν.
book 2.25.1 ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βˈρόμῳ
book 2.25.2 κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
book 2.26 δέ νιν Παλλὰς αἰεί
book 2.27a {φιλέοντι δὲ Μοῖσαι}
book 2.27b καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος·
book 2.28.1 λέγοντι δ’ ἐν καὶ θαλάσσᾳ
book 2.28.2 μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
book 2.30 Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον.
book 2.30.1 ἤτοι βροτῶν γε κέκριται
book 2.30.2 πεῖρας οὔ τι θανάτου,
book 2.30.3 οὐδ’ ἡσύχιμον ἁμέραν ὁπότε παῖδ’ ἀελίου
book 2.30.4 ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
book 2.33.1

ῥοαὶ δ’ ἄλλοτ’ ἄλλαι
book 2.33.2 εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.
book 2.35.1 οὕτω δὲ Μοῖρ’, ἅ τε πατ ͅρώϊον
book 2.35.2 τῶνδ’ ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
book 2.35.3 ἐπί τι καὶ πῆμ’ ἄγει,
book 2.37.1 παλιντράπελον ἄλλῳ χρόνῳ·
book 2.37.2 ἐξ οὗπερ ἔκτεινε Λᾶον μόριμος υἱός
book 2.37.3 συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθέν
book 2.40 —παλαίφατον τέλεσσεν.
book 2.1 ἰδοῖσα δ’ ὀξεῖ’ Ἐρινύς
book 2.2 ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
book 2.3 λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυ-
book 2.43 νείκει, νέοις ἐν ἀέθλοις
book 2 ἐν μάχαις τε πολέμου
book 2.45.1 τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
book 2.45.2 ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει
book 2.46.1 τὸν Αἰνησιδάμου
book 2.46.2 ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.
book 2.46.3 Ὀλυμπίᾳ μὲν γὰρ αὐτός
book 2.46.4 γέρας ἔδεκτο, Πυθῶνι δ’ ὁμόκλαρον ἐς ἀδελφεόν
book 2 Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τε-
book 2.1 θρίππων δυωδεκαδρόμων
book 2.2 ἄγαγον· τὸ δὲ τυχεῖν
book 2.3 πειρώμενον ἀγωνίας δυσφρονᾶν παραλύει.
book 2.4 ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος
book 2.53.1 φέρει τῶν τε καὶ τῶν
book 2.53.2 καιρὸν βαθεῖαν ὑπέχων μέριμναν ἀγ ͅροτέραν,
book 2.55.1 ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον
book 2.55.2 ἀνδρὶ φέγγος· εἰ δέ νιν ἔχων τις οἶδεν τὸ μέλλον,
book 2.55.3 ὅτι θανόντων μὲν ἐν-
book 2.57.1 θάδ’ αὐτίκ’ ἀπάλαμνοι φρένες
book 2.57.2 ποινὰς ἔτεισαν—τὰ δ’ ἐν τᾷδε Διὸς ἀρχᾷ
book 2.57.3 ἀλιτ ͅρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
book 2.60 —λόγον φράσαις ἀνάγκᾳ·
book 2.1 ἴσαις δὲ νύκτεσσιν αἰεί,
book 2.2 ἴσαις δ’ ἁμέραις ἅλιον ἔχοντες, ἀπονέστερον
book 2.3 ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα τα-
book 2.63.1 ράσσοντες ἐν χερὸς ἀκμᾷ
book 2.63.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδὲ πόντιον ὕδωρ
book 2.65.1 κεινὰν παρὰ δίαιταν, ἀλλὰ παρὰ μὲν τιμίοις
book 2.65.2 θεῶν οἵτινες ἔχαιρον εὐορκίαις
book 2.66.1 ἄδακ῾ρυν νέμονται
book 2.66.2 αἰῶνα, τοὶ δ’ ἀπροσόρατον ὀκχέοντι πόνον.
book 2.66.3 ὅσοι δ’ ἐτόλμασαν ἐστρίς
book 2.66.4 ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
book 2.70 ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρό-
book 2.70.1 νου τύρσιν· ἔνθα μακάρων
book 2.70.2 νᾶσον ὠκεανίδες
book 2.70.3 αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει,
book 2.70.4 τὰ μὲν χερσόθεν ἀπ’ ἀγ῾λαῶν δενδρέων,
book 2.73.1 ὕδωρ δ’ ἄλλα φέρβει,
book 2.73.2 ὅρμοισι τῶν χέρας ἀναπ῾λέκοντι καὶ στεφάνους
book 2.75.1 βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος,
book 2.75.2 ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῷ πάρεδ῾ρον,
book 2.75.3 πόσις ὁ πάντων Ῥέας
book 2.77.1 ὑπέρτατον ἐχοίσας θρόνον.
book 2.77.2 Πηλεύς τε καὶ Κάδ῾μος ἐν τοῖσιν ἀλέγονται·
book 2.77.3 Ἀχιλλέα τ’ ἔνεικ’, ἐπεὶ Ζηνὸς ἦτορ
book 2.80 ⸏λιταῖς ἔπεισε, μάτηρ·
book 2.1 ὃς Ἕκτορα σφᾶλε, Τροίας
book 2.2 ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
book 2.3 Ἀοῦς τε παῖδ’ Αἰθίοπα. πολλά μο͡ι ὑ͡π’
book 2.83.1 ἀγκῶνος ὠκέα βέλη
book 2.83.2 ἔνδον ἐντὶ φαρέτρας
book 2.85.1 φωνᾰ́͜ε͜ντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμανέων
book 2.85.2 χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ·
book 2.86.1 μαθόντες δὲ λάβ῾ροι
book 2.86.2 παγγλωσσίᾳ κόρακες ὣς ἄκραντα γαρυέτων
book 2.86.3 Διὸς πρὸς ὄρνιχα θεῖον·
book 2.86.4 ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ· τίνα βάλλομεν
book 2.90 ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀ-
book 2.90.1 ϊστοὺς ἱέντες; ἐπί τοι
book 2.90.2 Ἀκ῾ράγαντι τανύσαις
book 2.90.3 αὐδάσομα͡ι ἐ͡νόρκιον λόγον ἀλαθεῖ νόῳ,
book 2.90.4 τεκεῖν μή τιν’ ἑκατόν γε ἐτέων πόλιν
book 2.93.1 φίλοις ἄνδρα μᾶλλον
book 2.93.2

εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα
book 2.95.1 Θήρωνος. ἀλλ’ αἶνον ἐπέβα κόρος
book 2.95.2 οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ’ ἀνδρῶν,
book 2.95.3 τὸ λαλαγῆσαι θέλον
book 2.97.1 κρυφὸν τιθέμεν ἐσλῶν καλοῖς
book 2.97.2 ἔργοις, ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
book 2.97.3 καὶ κεῖνος ὅσα χάρματ’ ἄλλοις ἔθηκεν,
book 2 τίς ἂν φράσαι δύναιτο;
book 3 .
book 3.1.1 καλλιπˈλοκάμῳ θ’ Ἑλένᾳ
book 3.1.2 κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
book 3.1.3 Θήρωνος Ὀλυμπιονίκαν
book 3.3.1 ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
book 3.3.2 ἵππων ἄωτον. Μοῖσα δ’ οὕτω ποι παρέ-
book 3.4 στα μοι νεοσίγαλον εὑρόντι τˈρόπον
book 3.5.1 Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ
book 3.5.2 ἀγˈλαόκωμον· ἐπεὶ χαίταισι μὲν
book 3.6.1 ζευχθέντες ἔπι στέφανοι
book 3.6.2 πράσσοντί με τοῦτο θεόδˈματον χρέος,
book 3.6.3 φόρμιγγά τε ποικιλόγαρυν
book 3.8.1 καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
book 3.8.2 Αἰνησιδάμου παιδὶ συμμεῖξαι πρεπόν-
book 3.9 τως, ἅ τε Πίσα με γεγωνεῖν· τᾶς ἄπο
book 3.10.1 θεόμοροι νίσοντ’ ἐπ’ ἀνθρώπους ἀοιδαί,
book 3.10.2 ᾧ τινι κˈραίνων ἐφετˈμὰς Ἡρακλέος προτέρας
book 3.10.3 ἀτˈρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰ-
book 3.12.1 τωλὸς ἀνὴρ ὑψόθεν
book 3.12.2 ἀμφὶ κόμαισι βάλῃ
book 3.13.1 γλαυκόχˈροα κόσμον ἐλαίας, τάν ποτε
book 3.13.2 Ἴστρου ἀπὸ σκιαρᾶν
book 3.14 παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
book 3.15.1 μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,
book 3.15.2 δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλ-
book 3.16.1 λωνος θεράποντα λόγῳ·
book 3.16.2 πιστὰ φˈρονέων Διὸς αἴτει πανδόκῳ
book 3.16.3 ἄλσει σκιαρόν τε φύτευμα
book 3.18.1 ξυνὸν ἀνθρώποις στέφανόν τ’ ἀρετᾶν.
book 3.18.2 ἤδη γὰρ αὐτῷ, πατˈρὶ μὲν βωμῶν ἁγι-
book 3.19

σθέντων, διχόμηνις ὅλον χρυσάρματος
book 3.20.1 ἑσπέρας ὀφθαλμὸν ἀντέφˈλεξε Μήνα,
book 3.20.2 καὶ μεγάλων ἀέθλων ἁγˈνὰν κρίσιν
book 3.21.1 καὶ πενταετηρίδ’ ἁμᾶ
book 3.21.2 θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
book 3.21.3 ἀλλ’ οὐ καλὰ δένδρε’ ἔθαλλεν
book 3.23.1 χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.
book 3.23.2 τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀ-
book 3.24 ξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου.
book 3.25.1 δὴ τότ’ ἐς γαῖαν πορεύεν θυμὸς ὥρμα
book 3.25.2 Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
book 3.25.3 δέξατ’ ἐλθόντ’ Ἀρκαδίας ἀπὸ δειρᾶν
book 3.27.1 καὶ πολυγˈνάμπτων μυχῶν,
book 3.27.2 εὖτέ νιν ἀγγελίαις
book 3.28.1 Εὐρυσθέος ἔντυ’ ἀνάγκα πατˈρόθεν
book 3.28.2 χρυσόκερων ἔλαφον
book 3.29 θήλειαν ἄξονθ’, ἅν ποτε Ταϋγέτα
book 3.30 ἀντιθεῖς’ Ὀρθωσίας ἔγˈραψεν ἱεράν.
book 3 τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα
book 3.31.1 πˈνοιαῖς ὄπιθεν Βορέα
book 3.31.2 ψυχροῦ· τόθι δένδρεα θάμβαινε σταθείς.
book 3.31.3 τῶν νιν γλυκὺς ἵμερος ἔσχεν
book 3.33.1 δωδεκάγˈναμπτον περὶ τέρμα δρόμου
book 3.33.2 ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορ-
book 3.34 τὰν ἵλαος ἀντιθέοισιν νίσεται
book 3.35.1 σὺν βαθυζώνοιο διδύμοις παισὶ Λήδας.
book 3.35.2 τοῖς γὰρ ἐπέτˈραπεν Οὔλυμπόνδ’ ἰὼν
book 3.36.1 θαητὸν ἀγῶνα νέμειν
book 3.36.2 ἀνδρῶν τ’ ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
book 3.36.3 διφˈρηλασίας. ἐμὲ δ’ ὦν πᾳ
book 3.38.1 θυμὸς ὀτˈρύνει φάμεν Ἐμμενίδαις
book 3.38.2 Θήρωνί τ’ ἐλθεῖν κῦδος εὐίππων διδόν-
book 3.39 των Τυνδαριδᾶν, ὅτι πλείσταισι βˈροτῶν
book 3.40.1 ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,
book 3.40.2 εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
book 3.40.3 εἰ δ’ ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ
book 3.42.1 χˈρυσὸς αἰδοιέστατος,
book 3.42.2 νῦν δὲ πρὸς ἐσχατιὰν
book 3.43.1

Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
book 3.43.2 οἴκοθεν Ἡρακλέος
book 3.44 σταλᾶν. τὸ πόρσω δ’ ἐστὶ σοφοῖς ἄβατον
book 3.45 κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.
book 4 .
book 4.1.1 Ζεῦ· τεαὶ γὰρ Ὧραι
book 4.1.2 ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ’ ἔπεμψαν
book 4.1.3 ὑψηλοτάτων μάρτυρ’ ἀέθˈλων·
book 4.1.4 ξείνων δ’ εὖ πρασσόντων
book 4.5.1 ἔσαναν αὐτίκ’ ἀγγελίαν ποτὶ γˈλυκεῖαν ἐσλοί·
book 4.5.2 ἀλλὰ Κˈρόνου παῖ, ὃς Αἴτναν ἔχεις
book 4.5.3 ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα
book 4.7.1 Τυφῶνος ὀβˈρίμου,
book 4.7.2 Οὐλυμπιονίκαν
book 4.7.3 δέξαι Χαρίτων θ’ ἕκατι τόνδε κῶμον,
book 4.10 χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν.
book 4.10.1 Ψαύμιος γὰρ ἵκει
book 4.10.2 ὀχέων, ὃς ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι κῦδος ὄρσαι
book 4.10.3 σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
book 4.10.4 εἴη λοιπαῖς εὐχαῖς·
book 4.10.5 ἐπεί νιν αἰνέω, μάλα μὲν τροφαῖς ἑτοῖμον ἵππων,
book 4.15.1 χαίροντά τε ξενίαις πανδόκοις,
book 4.15.2 καὶ πρὸς Ἡσυχίαν φιλόπολιν καθαρᾷ
book 4.16.1 γνώμᾳ τετραμμένον.
book 4.16.2 οὐ ψεύδεϊ τέγξω
book 4.16.3 λόγον· διάπειρά τοι βροτῶν ἔλεγχος·
book 4.16.4 ἅπερ Κλυμένοιο παῖδα
book 4.20 Λαμνιάδων γυναικῶν ἔλυσεν ἐξ ἀτιμίας.
book 4.22.1 χαλκέοισι δ’ ἐν ἔντεσι νικῶν δρόμον
book 4.22.2 ἔειπεν Ὑψιπυλείᾳ μετὰ στέφανον ἰών·
book 4.22.3 ‘οὗτος ἐγὼ ταχυτᾶτι·
book 4.25.1 χεῖρες δὲ καὶ ἦτορ ἴσον. φύονται δὲ καὶ νέοις
book 4.25.2 ἐν ἀνδράσιν πολιαί
book 4 θαμάκι παρὰ τὸν ἁλικίας ἐοικότα χˈρόνον.‘
book 5 .
book 5.5.1 βωμοὺς ἓξ διδύμους ἐγέραρεν ἑορταῖς θεῶν μεγίσταις
book 5.5.2 ὑπὸ βουθυσίαις ἀέθˈλων τε πεμπαμέροις ἁμίλλαις,
book 5.5.3 ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβˈρόν
book 5.5.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νικάσας ἀνέθηκε, καὶ ὃν πατέρ’ Ἄ-
book 5.8 ⸏κ˙ρων’ ἐκάρυξε καὶ τὰν νέοικον ἕδ˙ραν.
book 5 ἵκων δ’ Οἰνομάου καὶ Πέλοπος παρ’ εὐηράτων
book 5.10.1 σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγ˙νόν
book 5.10.2 τὸ τεὸν ποταμόν τε Ὤανον ἐγχωρίαν τε λίμναν
book 5.10.3 καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
book 5.10.4 κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
book 5.10.5 ὑπ’ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·
book 5.15 αἰεὶ δ’ ἀμφ’ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς
book 5.15.1 ἔργον
book 5.15.2 κινδύνῳ κεκαλυμμένον· εὖ δὲ τυχόν-
book 5.16 ⸏τες σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.
book 5.1 Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
book 5.2 τιμῶν τ’ Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον,
book 5.3 ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,
book 5.20.1 αἰτήσων πόλιν εὐανορίαισι τάνδε κ˙λυταῖς
book 5.20.2 δαιδάλλειν, σέ τ’, Ὀλυμπιόνικε, Ποσειδανίοισιν ἵπποις
book 5.20.3 ἐπιτερπόμενον φέρειν γῆρας· εὔθυμον ἐς τελευτάν
book 5.20.4 υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ’ εἴ τις
book 5.23.1 ὄλβον ἄρδει,
book 5.23.2 ἐξαρκέ͜ων κτεάτεσσι καὶ εὐλογίαν
book 5.24 προστιθείς, μὴ ματεύσῃ θεὸς γενέσθαι.
book 6 .
book 6.1.1 τειχεῖ προθύρῳ θαλάμου
book 6.1.2 κίονας ὡς ὅτε θαητὸν μέγαρον
book 6.1.3 πάξομεν· ἀρχομένου δ’ ἔργου πρόσωπον
book 6.1.4 χρὴ θέμεν τηλαυγές. εἰ δ’ εἴ-
book 6.4 η μὲν Ὀλυμπιονίκας,
book 6.5.1 βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
book 6.5.2 συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσ-
book 6.6.1 σᾶν, τίνα κεν φύγοι ὕμνον
book 6.6.2 κεῖνος ἀνήρ, ἐπικύρσαις
book 6.7.1 ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;
book 6.7.2 ἴστω γὰρ ἐν τούτῳ πεδί-
book 6.8.1 λῳ δαιμόνιον πόδ’ ἔχων
book 6.8.2 Σωστράτου υἱός. ἀκίνδυνοι δ’ ἀρεταί
book 6.10 οὔτε παρ’ ἀνδράσιν οὔτ’ ἐν ναυσὶ κοίλαις
book 6 τίμιαι· πολλοὶ δὲ μέμναν-
book 6.11.1

ται, καλὸν εἴ τι ποναθῇ.
book 6.11.2 Ἀγησία, τὶν δ’ αἶνος ἑτοῖμος, ὃν ἐνδίκας
book 6.11.3 ἀπὸ γˈλώσσας Ἄδραστος μάντιν Οἰκλεί-
book 6.13.1 δαν ποτ’ ἐς Ἀμφιάρηον
book 6.13.2 φθέγξατ’, ἐπεὶ κατὰ γαῖ’ αὐ-
book 6.14 τόν τέ νιν καὶ φαιδίμας ἵππους ἔμαρψεν.
book 6.15 ἑπτὰ δ’ ἔπειτα πυρᾶν νε-
book 6.15.1 κˈροῖς τελεσθέντων Ταλαϊονίδας
book 6.15.2 εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος·
book 6.16.1 ‘Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς
book 6.16.2 ἀμφότερον μάντιν τ’ ἀγαθὸν καὶ
book 6.17.1 δουρὶ μάρνασθαι.‘ τὸ καί
book 6.17.2 ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
book 6.17.3 οὔτε δύσηρις ἐὼν οὔτ’ ὦν φιλόνικος ἄγαν,
book 6.20.1 καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως
book 6.20.2 μαρτυρήσω· μελίφθογ-
book 6.21 ‿—γοι δ’ ἐπιτˈρέψοντι Μοῖσαι.
book 6 ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤ-
book 6.22.1 δη μοι σθένος ἡμιόνων,
book 6.22.2 ᾇ τάχος, ὄφˈρα κελεύθῳ τ’ ἐν καθαρᾷ
book 6.22.3 βάσομεν ὄκχον, ἵκωμαί τε πˈρὸς ἀνδρῶν
book 6.25 καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλ-
book 6.25.1 λᾶν ὁδὸν ἁγεμονεῦσαι
book 6.25.2 ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
book 6.25.3 ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕ-
book 6.27.1 μνων ἀναπιτˈνάμεν αὐταῖς·
book 6.27.2 πρὸς Πιτάναν δὲ παρ’ Εὐρώ-
book 6.28.1 τα πόρον δεῖ σάμερον̄ ἐλθεῖν ἐν ὥρᾳ·
book 6.28.2 ἅ τοι Ποσειδάωνι μι-
book 6.29 χθεῖσα Κˈρονίῳ λέγεται
book 6.30.1 παῖδα ἰόπˈλοκον Εὐάδˈναν τεκέμεν.
book 6.30.2 κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
book 6.30.3 κυρίῳ δ’ ἐν μηνὶ πέμποις’
book 6.32.1 ἀμφιπόλους ἐκέλευσεν
book 6.32.2 ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
book 6.32.3 ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισά-
book 6.34 νᾳ, λάχε τ’ Ἀλφεὸν οἰκεῖν·
book 6.35 ἔνθα τραφεῖς’ ὑπ’ Ἀπόλλω-
book 6.35.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νι γˈλυκείας πρῶτον ἔψαυς’ Ἀφˈροδίτας.
book 6.35.2 οὐδ’ ἔλαθ’ Αἴπυτον ἐν παν-
book 6.36.1 τὶ χˈρόνῳ κλέπτοισα θεοῖο γόνον.
book 6.36.2 ἀλλ’ ὁ μὲν Πυθῶνάδ’, ἐν θυμῷ πιέσαις
book 6.37.1 χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ,
book 6.37.2 ᾤχετ’ ἰὼν μαντευσόμενος ταύ-
book 6.38.1 τας περ’ ἀτˈλάτου πάθας.
book 6.38.2 ἁ δὲ φοινικόκˈροκον ζώναν καταθηκαμένα
book 6.40.1 κάλπιδά τ’ ἀργυρέαν λόχˈμας ὑπὸ κυανέας
book 6.40.2 τίκτε θεόφˈρονα κοῦρον. τᾷ μὲν ὁ χρυσοκόμας
book 6.40.3 πραΰμητίν τ’ Ἐλείθυι-
book 6.42 —αν παρέστας’ ἔν τε Μοίρας·
book 6 ἦλθεν δ’ ὑπὸ σπλάγχων ὑπ’ ὠ-
book 6.43.1 δίνεσς’ ἐραταῖς Ἴαμος
book 6.43.2 ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
book 6.45.1 λεῖπε χαμαί· δύο δὲ γˈλαυκῶπες αὐτόν
book 6.45.2 δαιμόνων βουλαῖσιν ἐθˈρέ-
book 6.46.1 ψαντο δράκοντες ἀμεμφεῖ
book 6.46.2 ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ’ ἐπεί
book 6.46.3 πετραέσσας ἐλαύνων ἵκετ’ ἐκ Πυ-
book 6.48.1 θῶνος, ἅπαντας ἐν οἴκῳ
book 6.48.2 εἴρετο παῖδα, τὸν Εὐά-
book 6.49 δˈνα τέκοι· Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν
book 6.1 πατˈρός, περὶ θˈνατῶν δ’ ἔσεσθαι μάντιν ἐπιχθονίοις
book 6.2 ἔξοχον, οὐδέ ποτ’ ἐκˈλείψειν γενεάν.
book 6.3 ὣς ἄρα μάνυε. τοὶ δ’ οὔτ’ ὦν ἀκοῦσαι
book 6.4 οὔτ’ ἰδεῖν εὔχοντο πεμπταῖ-
book 6.53.1 ον γεγενημένον. ἀλλ’ ἐν
book 6.53.2 κέκˈρυπτο γὰρ σχοίνῳ βατιᾷ τ’ ἐν ἀπειρίτῳ,
book 6.55 ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀ-
book 6.55.1 κτῖσι βεβρεγˈμένος ἁβˈρόν
book 6.55.2 σῶμα· τὸ καὶ κατεφάμι-
book 6.56.1 ξεν καλεῖσθαί νιν χρόνῳ σύμπαντι μάτηρ
book 6.56.2 τοῦτ’ ὄνυμ’ ἀθάνατον. τερ-
book 6.57.1 πνᾶς δ’ ἐπεὶ χρυσοστεφάνοιο λάβεν
book 6.57.2 καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβαὶς
book 6.58.1 ἐκάλεσσε Ποσειδᾶν’ εὐρυβίαν,
book 6.58.2 ὃν πρόγονον, καὶ τοξοφόρον Δά-
book 6.59

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λου θεοδˈμάτας σκοπόν,
book 6.60.1 αἰτέων λαοτˈρόφον τιμάν τιν’ ἑᾷ κεφαλᾷ,
book 6.60.2 νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ’ ἀρτιεπής
book 6.60.3 πατˈρία ὄσσα, μετάλλασέν τέ νιν. ‘Ὄρσο, τέκνον,
book 6.60.4 δεῦρο πάγκοινον ἐς χώ-
book 6.63 ραν ἴμεν φάμας ὄπισθεν.‘
book 6 ἵκοντο δ’ ὑψηλοῖο πέ-
book 6.64 τˈραν ἀλίβατον Κρονίου
book 6.65.1 ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
book 6.65.2 μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
book 6.65.3 ψευδέων ἄγˈνωτον, εὖτ’ ἂν
book 6.67.1 δὲ θˈρασυμάχανος ἐλθών
book 6.67.2 Ἡρακˈλέης, σεμνὸν θάλος Ἀλκαΐδᾶν, πατρί
book 6.67.3 ἑορτάν τε κτίσῃ πλειστόμβροτον τε-
book 6.69 θˈμόν τε μέγιστον ἀέθˈλων,
book 6.70 Ζηνὸς ἐπ’ ἀκˈροτάτῳ βω-
book 6.70.1 μῷ τότ’ αὖ χρηστήριον θέσθαι κέλευσεν.
book 6.70.2 ἐξ οὗ πολύκˈλειτον καθ’ Ἕλ-
book 6.71.1 λανας γένος Ἰαμιδᾶν·
book 6.71.2 ὄλβος ἅμ’ ἕσπετο· τιμῶντες δ’ ἀρετάς
book 6.71.3 ἐς φανερὰν ὁδὸν ἔρχονται· τεκμαίρει
book 6.71.4 χρῆμ’ ἕκαστον· μῶμος ἐξ ἄλ-
book 6.74 λων κρέμαται φθονεόντων
book 6.75.1 τοῖς, οἷς ποτε πˈρώτοις περὶ δωδέκατον δρόμον
book 6.75.2 ἐλαυνόντεσσιν αἰδοία ποτιστά-
book 6.76.1 ξῃ Χάρις εὐκλέα μορφάν.
book 6.76.2 εἰ δ’ ἐτύμως ὑπὸ Κυλλά-
book 6.77.1 νας ὄρος̄, Ἁγησία, μάτρωες ἄνδρες
book 6.77.2 ναιετάοντες ἐδώρη-
book 6.78.1 σαν θεῶν κάρυκα λιταῖς θυσίαις
book 6.78.2 πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως,
book 6.79 ὃς ἀγῶνας ἔχει μοῖράν τ’ ἀέθλων,
book 6.80 Ἀρκαδίαν τ’ εὐάνορα τιμᾷ·
book 6.80.1 κεῖνος, ὦ παῖ Σωστράτου,
book 6.80.2 σὺν βαρυγδούπῳ πατρὶ κˈραίνει σέθεν εὐτυχίαν.
book 6.80.3 δόξαν ἔχω τιν’ ἐπὶ γˈλώσσᾳ λιγυρᾶς ἀκόνας,
book 6.80.4 ἅ μ’ ἐθέλοντα προσέρπει καλλιρόαισι πνοαῖς.
book 6.80.5 ματρομάτωρ ἐμὰ Στυμ-
book 6.84

‿φαλίς, εὐανθὴς Μετώπα,
book 6.85 πλάξιππον ἃ Θήβαν ἔτι-
book 6.85.1 κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
book 6.85.2 πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
book 6.1 ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,
book 6.2 Αἰνέα, πρῶτον μὲν Ἥραν
book 6.88.1 Παρθενίαν κελαδῆσαι,
book 6.88.2 γνῶναί τ’ ἔπειτ’, ἀρχαῖον ὄνειδος ἀλαθέσιν
book 6.90 λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν.
book 6.90.1 ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
book 6.90.2 ἠϋκόμων σκυτάλα Μοι-
book 6.91.1 σᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·
book 6.91.2 εἶπον δὲ μεμνᾶσθαι Συρα-
book 6.92.1 κοσσᾶν τε καὶ Ὀρτυγίας·
book 6.92.2 τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
book 6.92.3 ἄρτια μηδόμενος, φοινικόπεζαν
book 6.95 ἀμφέπει Δάματρα λευκίπ-
book 6.95.1 που τε θυγατ˙ρὸς ἑορτάν
book 6.95.2 καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
book 6.95.3 λύραι μολπαί τε γινώσκοντι. μὴ θράσ-
book 6.97.1 σοι χρόνος ὄλβον ἐφέρπων,
book 6.97.2 σὺν δὲ φιλοφ˙ροσύναις εὐ-
book 6.98.1 ηράτοις Ἁγησία δέξαιτο κῶμον
book 6.98.2 οἴκοθεν οἴκαδ’ ἀπὸ Στυμ-
book 6.99 φαλίων τειχέων‿ ποτινισόμενον,
book 6 ματέρ’ εὐμήλοιο λείποντ’ Ἀρκαδίας.
book 6.1 ἀγαθαὶ δὲ πέλοντ’ ἐν χειμερίᾳ
book 6.2 νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμ-
book 6.101.1 φθαι δύ’ ἄγκυραι. θεός
book 6.101.2 τῶνδε κείνων τε κ˙λυτὰν αἶσαν παρέχοι φιλέων.
book 6.101.3 δέσποτα ποντόμεδον̄, εὐθὺν δὲ πλόον καμάτων
book 6.101.4 ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
book 6.105 Ἀμφιτρίτας, ἐμῶν δ’ ὕ-
book 6.105 μνων ἄεξ’ εὐτερπὲς ἄνθος.
book 7 .
book 7.4 οἴκοθεν οἴκαδε, πάγχρυσον, κορυφὰν κτεάνων,
book 7.5 συμποσίου τε χάριν κᾶ-
book 7.5.1 δός τε τιμάσαις ⟨ν⟩ έον, ἐν δὲ φίλων
book 7.5.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφ˙ρονος εὐνᾶς·
book 7.5.3 καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
book 7.5.4 ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
book 7.5.5 ἱλάσκομαι,
book 7.10 Ὀλυμπίᾳ Πυθοῖ τε νικών-
book 7.10.1 τεσσιν· ὁ δ’ ὄλβιος, ὃν φᾶμαι κατέχωντ’ ἀγαθαί·
book 7.10.2 ἄλλοτε δ’ ἄλλον ἐποπτεύ-
book 7.11.1 ει Χάρις ζωθάλμιος ἁδυμελεῖ
book 7.11.2 θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ’ ἐν ἔντεσιν αὐλῶν.
book 7.11.3 καί νυν ὑπ’ ἀμφοτέρων σὺν
book 7.13.1 Διαγόρᾳ κατέβαν, τὰν ποντίαν
book 7.13.2 ὑμνέων, παῖδ’ Ἀφ˙ροδίτας
book 7.14 Ἀελίοιό τε νύμφαν, Ῥόδον,
book 7.15 εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ’ Ἀλ-
book 7.15.1 φειῷ στεφανωσάμενον
book 7.15.2 αἰνέσω πυγ˙μᾶς ἄποινα
book 7.15.3 καὶ παρὰ Κασταλίᾳ, πα-
book 7.17.1 τέρα τε Δαμάγητον ἁδόντα Δίκᾳ,
book 7.17.2 Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
book 7.17.3 ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.
book 7.20.1 ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου
book 7.20.2 ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
book 7.20.3 Ἡρακ˙λέος
book 7.20.4 εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ
book 7.23.1 πατ˙ρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ’ Ἀμυντορίδαι
book 7.23.2 ματρόθεν Ἀστυδαμείας.
book 7.24 ἀμφὶ δ’ ἀνθρώπων φρασὶν ἀμπλακίαι
book 7.25.1 ἀναρίθ˙μητοι κρέμανται· τοῦτο δ’ ἀμάχανον εὑρεῖν,
book 7.25.2 ὅτι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
book 7.25.3 καὶ γὰρ Ἀλκμήνας κασίγ˙νητον νόθον
book 7.25.4 σκάπτῳ θενών
book 7.25.5 σκληρᾶς ἐλαίας ἔκτανεν Τί-
book 7.29 ρυνθι Λικύμνιον ἐλθόντ’ ἐκ θαλάμων Μιδέας
book 7.30 τᾶσδέ ποτε χθονὸς οἰκι-
book 7.30 στὴρ χολωθείς. αἱ δὲ φρενῶν ταραχαί
book 7.1 παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ’ ἐς θεὸν ἐλθών.
book 7.2 τῷ μὲν ὁ χρυσοκόμας εὐ-
book 7.32.1 ώδεος ἐξ ἀδύτου ναῶν πλόον
book 7.32.2

εἶπε Λερναίας ἀπ’ ἀκτᾶς
book 7.33.1 εὐθὺν ἐς ἀμφιθάλασσον νομόν,
book 7.33.2 ἔνθα ποτὲ βˈρέχε θεῶν βασιλεὺς ὁ μέγας
book 7.34 χρυσέαις νιφάδεσσι πόλιν,
book 7.35.1 ἁνίχ’ Ἁφαίστου τέχναισιν
book 7.35.2 χαλκελάτῳ πελέκει πα-
book 7.36.1 τέρος Ἀθαναία κορυφὰν κατ’ ἄκραν
book 7.36.2 ἀνορούσαις’ ἀλάλαξεν ὑπερμάκει βοᾷ.
book 7.36.3 ⸏Οὐρανὸς δ’ ἔφˈριξέ νιν καὶ Γαῖα μάτηρ.
book 7 τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
book 7.40.1 μέλλον ἔντειλεν φυλάξασθαι χρέος
book 7.40.2 παισὶν φίλοις,
book 7.40.3 ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν
book 7.42.1 βωμὸν ἐναργέα, καὶ σεμνὰν θυσίαν θέμενοι
book 7.42.2 πατˈρί τε θυμὸν ἰάναι-
book 7.43.1 εν κόρᾳ τ’ ἐγχειβρόμῳ. ἐν δ’ ἀρετάν
book 7.43.2 ἔβαλεν καὶ χάρματ’ ἀνθρώποισι προμαθέος αἰδώς·
book 7.45.1 ἐπὶ μὰν βαίνει τι καὶ λάθας ἀτέκμαρτα νέφος,
book 7.45.2 καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδόν
book 7.45.3 ἔξω φρενῶν.
book 7.45.4 καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες
book 7.48.1 σπέρμ’ ἀνέβαν φλογὸς οὔ. τεῦξαν δ’ ἀπύροις ἱεροῖς
book 7.48.2 ἄλσος ἐν ἀκˈροπόλει. κεί-
book 7.49 νοισι μὲν ξανθὰν ἀγαγὼν νεφέλαν {Ζεύς}
book 7.1 πολὺν ὗσε χˈρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχˈναν
book 7.2 πᾶσαν ἐπιχθονίων Γλαυκ-
book 7.51.1 ῶπις ἀριστοπόνοις χερσὶ κˈρατεῖν.
book 7.51.2 ἔργα δὲ ζωοῖσιν ἑρπόν-
book 7.52.1 τεσσί θ’ ὁμοῖα κέλευθοι φέρον·
book 7.52.2 ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία
book 7.53.1 μείζων ἄδολος τελέθει.
book 7.53.2 φαντὶ δ’ ἀνθρώπων παλαιαί
book 7.55 ῥήσιες, οὔπω, ὅτε χθό-
book 7.55.1 να δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
book 7.55.2 φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
book 7.55.3 ⸏ἁλμυροῖς δ’ ἐν βένθεσιν νᾶσον κεκρύφθαι.
book 7.1 ἀπεόντος δ’ οὔτις ἔνδειξεν λάχος Ἀελίου·
book 7.2 καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
book 7.60.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁγˈνὸν θεόν.
book 7.60.2 μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλ-
book 7.61.1 λεν θέμεν. ἀλλά νιν οὐκ εἴασεν· ἐπεὶ πολιᾶς
book 7.61.2 εἶπέ τιν’ αὐτὸς ὁρᾶν ἔν-
book 7.62.1 δον θαλάσσας αὐξομέναν πεδόθεν
book 7.62.2 πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.
book 7.62.3 ἐκέλευσεν δ’ αὐτίκα χˈρυσάμπυκα μὲν Λάχεσιν
book 7.65.1 χεῖρας ἀντεῖναι, θεῶν δ’ ὅρκον μέγαν
book 7.65.2 μὴ παρφάμεν,
book 7.65.3 ἀλλὰ Κˈρόνου σὺν παιδὶ νεῦσαι,
book 7.67.1 φαεννὸν ἐς αἰθέρα μιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
book 7.67.2 ἐξοπίσω γέρας ἔσσε-
book 7.68.1 σθαι. τελεύταθεν δὲ λόγων κορυφαί
book 7.68.2 ἐν ἀλαθείᾳ πετοῖσαι· βλάστε μὲν ἐξ ἁλὸς ὑγˈρᾶς
book 7.70 νᾶσος, ἔχει τέ μιν ὀξει-
book 7.70.1 ᾶν ὁ γενέθˈλιος ἀκτίνων πατήρ,
book 7.70.2 πῦρ πνεόντων ἀρχὸς ἵππων·
book 7.71.1 ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν
book 7.71.2 ἑπτὰ σοφώτατα νοήματ’ ἐπὶ πˈροτέρων
book 7.72.1 ἀνδρῶν παραδεξαμένους
book 7.72.2 παῖδας, ὧν εἷς μὲν Κάμιρον
book 7.72.3 πρεσβύτατόν τε Ἰάλυ-
book 7.74 σον ἔτεκεν Λίνδον τ’· ἀπάτερθε δ’ ἔχον
book 7.75.1 διὰ γαῖαν τρίχα δασσάμενοι πατˈρωΐαν
book 7.75.2 ἀστέων μοίρας, κέκληνται δέ σφιν ἕδˈραι.
book 7.1 τόθι λύτˈρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
book 7.2 ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,
book 7.3 ὥσπερ θεῷ,
book 7.80 μήλων τε κνισάεσσα πομπὰ
book 7.80.1 καὶ κρίσις ἀμφ’ ἀέθλοις. τῶν ἄνθεσι Διαγόρας
book 7.80.2 ἐστεφανώσατο δίς, κλει-
book 7.81.1 νᾷ τ’ ἐν Ἰσθμῷ τετˈράκις εὐτυχέων,
book 7.81.2 Νεμέᾳ τ’ ἄλλαν ἐπ’ ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.
book 7.81.3 ὅ τ’ ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ’ ἐν Ἀρκαδίᾳ
book 7.81.4 ἔργα καὶ Θήβαις, ἀγῶνές τ’ ἔννομοι
book 7.85.1 Βοιωτίων,
book 7.85.2 Πέλλανά τ’· Αἰγίνᾳ τε νικῶνθ’
book 7.86.1 ἑξάκις· ἐν Μεγάροισίν τ’ οὐχ ἕτερον λιθίνα
book 7.86.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψᾶφος ἔχει λόγον. ἀλλ’ ὦ
book 7.87.1 Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου
book 7.87.2 μεδέων, τίμα μὲν ὕμνου τεθˈμὸν Ὀλυμπιονίκαν,
book 7.87.3 ἄνδρα τε πὺξ ἀρετὰν εὑ-
book 7.89 ρόντα. δίδοι τέ οἱ αἰδοίαν χάριν
book 7.90 καὶ ποτ’ ἀστῶν καὶ ποτὶ ξεί-
book 7.90.1 νων. ἐπεὶ ὕβˈριος ἐχθρὰν ὁδόν
book 7.90.2 εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε οἱ πατέρων
book 7.91.1 ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
book 7.91.2 ἔχˈρεον. μὴ κρύπτε κοινόν
book 7.91.3 σπέρμ’ ἀπὸ Καλλιάνακτος·
book 7.93.1 Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
book 7.93.2 θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
book 7.95 ἄλλοτ’ ἀλλοῖαι διαιθύσσοισιν αὖραι.
book 8 .
book 8.3.1 ται Διὸς ἀργικεραύνου,
book 8.3.2 εἴ τιν’ ἔχει λόγον ἀνθρώπων πέρι
book 8.5.1 μαιομένων μεγάλαν
book 8.5.2 ἀρετὰν θυμῷ λαβεῖν,
book 8.5.3 τῶν δὲ μόχθων ἀμπνοάν.
book 8.5.4 ἄνεται δὲ πˈρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς·
book 8.5.5 ἀλλ’ ὦ Πίσας εὔδενδρον ἐπ’ Ἀλφεῷ ἄλσος,
book 8.10 τόνδε κῶμον καὶ στεφαναφορίαν δέ-
book 8.10.1 ξαι. μέγα τοι κλέος αἰεί,
book 8.10.2 ᾧτινι σὸν γέρας ἕσπετ’ ἀγˈλαόν.
book 8.10.3 ἄλλα δ’ ἐπ’ ἄλλον ἔβαν
book 8.10.4 ἀγαθῶν, πολλαὶ δ’ ὁδοί
book 8.10.5 σὺν θεοῖς εὐπραγίας.
book 8.15.1 Τιμόσθενες, ὔμμε δ’ ἐκλάρωσεν πότμος
book 8.15.2 Ζηνὶ γενεθˈλίῳ· ὃς σὲ μὲν Νεμέᾳ πρόφατον,
book 8.15.3 Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
book 8.15.4 θῆκεν Ὀλυμπιονίκαν.
book 8.15.5 ἦν δ’ ἐσορᾶν καλός, ἔργῳ τ’ οὐ κατὰ εἶδος ἐλέγχων
book 8.20 ἐξένεπε κˈρατέων
book 8.20.1 πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
book 8.20.2 ἔνθα σώτειρα Διὸς ξενίου
book 8.20.3 πάρεδˈρος ἀσκεῖται Θέμις
book 8.1 ἔξοχ’ ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,
book 8.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀρθᾷ διακˈρῖναι φρενὶ μὴ παρὰ καιρόν
book 8.25 δυσπαλές· τεθˈμὸς δέ τις ἀθανάτων καὶ
book 8.25.1 τάνδ’ ἁλιερκέα χώραν
book 8.25.2 παντοδαποῖσιν ὑπέστασε ξένοις
book 8.25.3 κίονα δαιμονίαν—
book 8.25.4 ὁ δ’ ἐπαντέλλων χρόνος
book 8.25.5 τοῦτο πράσσων μὴ κάμοι—
book 8.30.1 Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
book 8.30.2 τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδάν,
book 8.30.3 Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦ-
book 8.32.1 ξαι, καλέσαντο συνεργόν
book 8.32.2 τείχεος, ἦν ὅτι νιν πεπˈρωμένον
book 8.32.3 ὀρνυμένων πολέμων
book 8.35.1 πτολιπόρθοις ἐν μάχαις
book 8.35.2 λάβˈρον ἀμπνεῦσαι καπνόν.
book 8.35.3 γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
book 8.35.4 πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
book 8.35.5 αὖθι δ’ ἀτυζόμενοι ψυχὰς βάλον,
book 8.40.1 εἷς δ’ ἐνόρουσε βοάσαις.
book 8.40.2 ἔννεπε δ’ ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·
book 8.40.3 ‘Πέργαμος ἀμφὶ τεαῖς,
book 8.42.1 ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
book 8.42.2 ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
book 8.42.3 πεμφθὲν βαρυγδούπου Διός·
book 8.45.1 οὐκ ἄτερ παίδων σέθεν, ἀλλ’ ἅμα πρώτοις ἄρξεται
book 8.45.2 καὶ τερτάτοισ‘. ὣς ἦρα θεὸς σάφα εἴπαις
book 8.45.3 Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίπ-
book 8.47.1 πους καὶ ἐς Ἴστρον ἐλαύνων.
book 8.47.2 Ὀρσοτρίαινα δ’ ἐπ’ Ἰσθμῷ ποντίᾳ
book 8.47.3 ἅρμα θοὸν τάνυεν,
book 8.1 ἀποπέμπων Αἰακόν
book 8.2 δεῦρ’ ἀν’ ἵπποις χρυσέαις
book 8.3 καὶ Κορίνθου δειράδ’ ἐποψόμενος δαιτικˈλυτάν.
book 8.4 τερπνὸν δ’ ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
book 8.5 εἰ δ’ ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων
book 8.54 κῦδος ἀνέδˈραμον ὕμνῳ,
book 8.55.1 μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
book 8.55.2 καὶ Νεμέᾳ γὰρ ὁμῶς
book 8.55.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρέω ταύταν χάριν,
book 8.55.4 τὰν δ’ ἔπειτ’ ἀνδρῶν μάχας
book 8.55.5 ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
book 8.60.1 εἰδότι ῥᾴτερον· ἄγˈνωμον δὲ τὸ μὴ προμαθεῖν·
book 8.60.2 κουφότεραι γὰρ ἀπειράτων φρένες.
book 8.60.3 κεῖνα δὲ κεῖνος ἂν εἴποι
book 8.60.4 ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
book 8.60.5 ἐξ ἱερῶν ἀέθλων
book 8.64 μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
book 8.65.1 νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων
book 8.65.2 —νίκαν τριακοστὰν ἑλών·
book 8 ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ’ οὐκ ἀμπλακών
book 8.1 ἐν τέτˈρασιν παίδων ἀπεθήκατο γυίοις
book 8.2 νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσ-
book 8.69 σαν καὶ ἐπίκˈρυφον οἶμον,
book 8.70.1 πατˈρὶ δὲ πατˈρὸς ἐνέπˈνευσεν μένος
book 8.70.2 γήραος ἀντίπαλον·
book 8.70.3 Ἀΐδα τοι λάθεται
book 8.70.4 ἄρμενα πˈράξαις ἀνήρ.
book 8.70.5 ἀλλ’ ἐμὲ χˈρὴ μναμοσύναν ἀνεγείροντα φˈράσαι
book 8.75.1 χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
book 8.75.2 ἕκτος οἷς ἤδη στέφανος περίκειται
book 8.76.1 φυλλοφόρων ἀπ’ ἀγώνων.
book 8.76.2 ἔστι δὲ καί τι θανόντεσσιν μέρος
book 8.76.3 κὰν νόμον ἐρδομένων·
book 8.76.4 κατακρύπτει δ’ οὐ κόνις
book 8.80.1 συγγόνων κεδˈνὰν χάριν.
book 8.80.2 Ἑρμᾶ δὲ θυγατˈρὸς ἀκούσαις Ἰφίων
book 8.80.3 Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρόν
book 8.80.4 κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
book 8.80.5 ὤπασεν. ἐσλὰ δ’ ἐπ’ ἐσλοῖς
book 8.85.1 ἔργα θέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
book 8.85.2 εὔχομαι ἀμφὶ καλῶν
book 8.86.1 μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν·
book 8.86.2 ἀλλ’ ἀπήμαντον ἄγων βίοτον
book 8 αὐτούς τ’ ἀέξοι καὶ πόλιν.
book 9 .
book 9.2.1 καλλίνικος ὁ τριπˈλόος κεχλαδώς
book 9.2.2

ἄρκεσε Κ˙ρόνιον παρ’ ὄχθον ἁγεμονεῦσαι
book 9.2.3 κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
book 9.5.1 ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
book 9.5.2 Δία τε φοινικοστερόπαν σεμνόν τ’ ἐπίνειμαι
book 9.5.3 ἀκ˙ρωτήριον Ἄλιδος
book 9.5.4 τοιοῖσδε βέλεσσιν,
book 9.5.5 τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ
book 9.10.1 ἐξάρατο κάλλιστον ἕδ˙νον Ἱπποδαμείας·
book 9.10.2 πτερόεντα δ’ ἵει γλυκύν
book 9.10.3 Πυθῶνάδ’ ὀϊστόν· οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι,
book 9.10.4 ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ’ ἐλελίζων
book 9.10.5 κλεινᾶς ἐξ Ὀπόεντος· αἰνήσαις ἓ καὶ υἱόν,
book 9.15.1 ἃν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν
book 9.15.2 μεγαλόδοξος Εὐνομία. θάλλει δ’ ἀρεταῖσιν
book 9.15.3 σόν τε, Κασταλία, πάρα
book 9.15.4 Ἀλφεοῦ τε ῥέεθ˙ρον·
book 9.15.5 ὅθεν στεφάνων ἄωτοι κλυτάν
book 9.20.1 Λοκ˙ρῶν ἐπαείροντι ματέρ’ ἀγ˙λαόδενδρον.
book 9.20.2 ἐγὼ δέ τοι φίλαν πόλιν
book 9.20.3 μαλεραῖς ἐπιφ˙λέγων ἀοιδαῖς,
book 9.20.4 καὶ ἀγάνορος ἵππου
book 9.20.5 θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ
book 9.25 ἀγγελίαν πέμψω ταύταν,
book 9.25 εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
book 9.26-27 ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
book 9.28 κεῖναι γὰρ ὤπασαν τὰ τέρπν’· ἀγαθοὶ
book 9.28 ‿δὲ καὶ σοφοὶ κατὰ δαίμον’ ἄνδρες
book 9 ἐγένοντ’· ἐπεὶ ἀντίον
book 9.30 πῶς ἂν τριόδοντος Ἡ-
book 9.30.1 ρακ˙λέης σκύταλον τίναξε χερσίν,
book 9.30.2 ἁνίκ’ ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδάν,
book 9.30.3 ἤρειδεν δέ νιν ἀργυρέῳ τόξῳ πολεμίζων
book 9.30.4 Φοῖβος, οὐδ’ Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
book 9.30.5 βρότεα σώμαθ’ ᾇ κατάγει κοίλαν πρὸς ἄγυιαν
book 9.35.1 θνᾳσκόντων; ἀπό μοι λόγον
book 9.35.2 τοῦτον, στόμα, ῥῖψον·
book 9.35.3 ἐπεὶ τό γε λοιδορῆσαι θεούς
book 9.35.4 ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρόν
book 9.35.5

μανίαισιν ὑποκˈρέκει.
book 9.40 μὴ νῦν λαλάγει τὰ τοι-
book 9.40.1 αῦτ’· ἔα πόλεμον μάχαν τε πᾶσαν
book 9.40.2 χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
book 9.40.3 ἄστει γλῶσσαν, ἵν’ αἰολοβˈρέντα Διὸς αἴσᾳ
book 9.40.4 Πύρρα Δευκαλίων τε Παρνασσοῦ καταβάντε
book 9.40.5 δόμον ἔθεντο πρῶτον, ἄτερ δ’ εὐνᾶς ὁμόδαμον
book 9.45.1 κτισσάσθαν λίθινον γόνον·
book 9.45.2 λαοὶ δ’ ὀνύμασθεν.
book 9.45.3 ἔγειρ’ ἐπέων σφιν οἶμον λιγύν,
book 9.45.4 αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ’ ὕμνων
book 9.45.5 νεωτέρων. λέγοντι μάν
book 9.1 χθόνα μὲν κατακˈλύσαι μέλαιναν
book 9.2 ὕδατος σθένος, ἀλλά
book 9.3 Ζηνὸς τέχˈναις ἀνάπωτιν ἐξαίφνας
book 9.53–54 ἄντλον ἑλεῖν. κείνων δ’ ἔσαν
book 9.54 χαλκάσπιδες ὑμέτεροι πρόγονοι
book 9.55.1 ἀρχᾶθεν, Ἰαπετιονίδος φύτˈλας
book 9.55.2 κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,
book 9.56 ‿—ἐγχώριοι βασιλῆες αἰεί,
book 9.1 πρὶν Ὀλύμπιος ἁγεμών
book 9.2 θύγατˈρ’ ἀπὸ γᾶς Ἐπει-
book 9.58.1 ῶν Ὀπόεντος ἀναρπάσαις, ἕκαλος
book 9.58.2 μίχθη Μαιναλίαισιν ἐν δειραῖς, καὶ ἔνεικεν
book 9.60.1 Λοκˈρῷ, μὴ καθέλοι νιν αἰὼν πότˈμον ἐφάψαις
book 9.60.2 ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
book 9.60.3 ἄλοχος, εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν,
book 9.60.4 μάτρωος δ’ ἐκάλεσσέ νιν
book 9.60.5 ἰσώνυμον ἔμμεν,
book 9.65.1 ὑπέρφατον ἄνδρα μορφᾷ τε καί
book 9.65.2 ἔργοισι. πόλιν δ’ ὤπασεν λαόν τε διαιτᾶν.
book 9.65.3 ἀφίκοντο δέ οἱ ξένοι
book 9.65.4 ἔκ τ’ Ἄργεος ἔκ τε Θη-
book 9.68.1 βᾶν, οἱ δ’ Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
book 9.68.2 υἱὸν δ’ Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
book 9.70.1 Αἰγίνας τε Μενοίτιον. τοῦ παῖς ἅμ’ Ἀτρείδαις
book 9.70.2 Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
book 9.70.3 μόνος, ὅτ’ ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν
book 9.70.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρύμναις Τήλεφος ἔμβαλεν·
ὥστ’ ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν νόον·
ἐξ οὗ Θέτιος γόνος οὐλίῳ νιν ἐν Ἄρει
παραγορεῖτο μή ποτε
σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότ͡ου͡ αἰχμᾶς.
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
πρόσφορος ἐν Μοισᾶν δίφˈρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτο. προξενίᾳ δ’ ἀρετᾷ τ’ ἦλθον
τιμά͜ορος Ἰσθμίαισι Λαμπρομάχου
‿—μίτραις, ὅτ’ ἀμφότεροι κράτησαν
μίαν ἔργον ἀν’ ἁμέραν.
ἄλλαι δὲ δύ’ ἐν Κορίν-
θου πύλαις ἐγένοντ’ ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ’ ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ’ ἐν Ἀθάναις,
οἷον δ’ ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ’ ἀργυρίδεσσιν·
φῶτας δ’ ὀξυρεπεῖ δόλῳ
ἀπτωτὶ δαμάσσαις
διήρχετο κύκˈλον ὅσσᾳ βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.
τὰ δὲ Παρρασίῳ στρατῷ
θαυμαστὸς ἐὼν φάνη
Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ’ εὐδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ’ αὐτῷ Ἰολάου
τύμβος ἐνναλία τ’ Ἐλευσὶς ἀγˈλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι·
ἄνευ δὲ θεοῦ, σεσιγαμένον
οὐ σκαιότερον χρῆμ’ ἕκαστον· ἐντὶ γὰρ ἄλλαι
ὁδῶν ὁδοὶ περαίτεραι,
μία δ’ οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μέν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰπειναί· τοῦτο δὲ προσφέρων ἄ͜εθλον,
book 9.3 ὄρθιον ὤρυσαι θαρσέ͜ων,
book 9.110.1 τόνδ’ ἀνέρα δαιμονίᾳ γεγάμεν
book 9.110.2 εὔχειρα, δεξιόγυιον, ὁρῶντ’ ἀλκάν,
book 9.110.3 Αἶαν, τεόν τ’ ἐν δαιτί, Ἰλιάδα,
book 9.112 νικῶν ἐπεστεφάνωσε βωμόν.
book 10.1 Τὸν Ὀλυμπιονίκαν ἀνάγ˙νωτέ μοι
book 10.2 Ἀρχεστράτου παῖδα, πόθι φ˙ρενός
book 10.3 ἐμᾶς γέγραπται· γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων
book 10.3.1 ἐπιλέλαθ’· ὦ Μοῖς’, ἀλλὰ σὺ καὶ θυγάτηρ
book 10.3.2 Ἀλάθεια Διός, ὀρθᾷ χερί
book 10.5.1 ἐρύκετον ψευδέων
book 10.5.2 ἐνιπὰν ἀλιτόξενον.
book 10.5.3 ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος
book 10.5.4 ἐμὸν καταίσχυνε βαθὺ χ˙ρέος.
book 10.5.5 ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν
book 10.9 τόκος θνατῶν· νῦν ψᾶφον ἑλισσομέναν
book 10.10.1 ὁπᾷ κῦμα κατακλύσσει ῥέον,
book 10.10.2 ὁπᾷ τε κοινὸν λόγον
book 10.10.3 φίλαν τείσομεν ἐς χάριν.
book 10.10.4 νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκ˙ρῶν Ζεφυρίων,
book 10.10.5 μέλει τέ σφισι Καλλιόπα
book 10.15 καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύ-
book 10.15.1 κ˙νεια μάχα καὶ ὑπέρβιον
book 10.15.2 Ἡρακ˙λέα· πύκτας δ’ ἐν Ὀλυμπιάδι νικῶν
book 10.15.3 Ἴλᾳ φερέτω χάριν
book 10.15.4 Ἁγησίδαμος, ὡς
book 10.15.5 Ἀχιλεῖ Πάτροκλος.
book 10.20.1 θάξαις δέ κε φύντ’ ἀρετᾷ ποτί
book 10.20.2 πελώριον ὁρμάσαι κλέος ἀ-
book 10.21 ͜νὴρ θεοῦ σὺν παλάμαις.
book 10 ἄπονον δ’ ἔλαβον χάρμα παῦροί τινες,
book 10.1 ἔργων πρὸ πάντων βιότῳ φάος.
book 10.2 ἀγῶνα δ’ ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν
book 10.24 Διός, ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος
book 10.25.1 βωμῷ ἑξάριθμον ἐκτίσσατο,
book 10.25.2 ἐπεὶ Ποσειδάνιον
book 10.25.3 πέφνε Κτέ͜ατον ἀμύμονα,
book 10.25.4

πέφνε δ’ Εὔρυτον, ὡς Αὐγέαν λάτˈριον
book 10.25.5 ◌ἀέκ͜ονθ’ ἑκὼν μισθὸν ὑπέρβιον
book 10.30 πράσσοιτο, λόχˈμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν
book 10.30.1 δάμασε καὶ κείνους Ἡρακλέης ἐφ’ ὁδῷ,
book 10.30.2 ὅτι πˈρόσθε ποτὲ Τιρύνθιον
book 10.30.3 ἔπερσαν αὐτῷ στρατόν
book 10.30.4 μυχοῖς ἥμενον Ἄλιδος
book 10.30.5 Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας
book 10.35.1 Ἐπειῶν βασιλεὺς ὄπιθεν
book 10.35.2 οὐ πολλὸν ἴδε πατˈρίδα πολυ-
book 10.36.1 κτέ͜αν͜ον ὑπὸ στερεῷ πυρί
book 10.36.2 πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας
book 10.36.3 ἵζοισαν ἑὰν πόλιν.
book 10.36.4 νεῖκος δὲ κρεσσόνων
book 10.40.1 ἀποθέσθ’ ἄπορον.
book 10.40.2 καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
book 10.40.3 ἁλώσιος ἀντάσαις θάνατον
book 10.42 ⏑—αἰπὺν οὐκ ἐξέφυγεν.
book 10.1 ὁ δ’ ἄρ’ ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατόν
book 10.2 λᾴαν τε πᾶσαν Διὸς ἄλκιμος
book 10.45 υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ·
book 10.45.1 περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ’ ἐν καθαρῷ
book 10.45.2 διέκˈρινε, τὸ δὲ κύκˈλῳ πέδον
book 10.1 ἔθηκε δόρπου λύσιν,
book 10.2 τιμάσαις πόρον Ἀλφεοῦ
book 10.3 μετὰ δώδεκ’ ἀνάκτων θεῶν· καὶ πάγον
book 10.1 Κρόνου προσεφθέγξατο· πρόσθε γάρ
book 10.2 νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βˈρέχετο πολλᾷ
book 10.51.1 νιφάδι. ταύτᾳ δ’ ἐν πρωτογόνῳ τελετᾷ
book 10.51.2 παρέσταν μὲν ἄρα Μοῖραι σχεδόν
book 10.51.3 ὅ τ’ ἐξελέγχων μόνος
book 10.51.4 ἀλάθειαν ἐτήτυμον
book 10.55.1 Χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
book 10.55.2 ὁπᾷ τὰν πολέμοιο δόσιν
book 10.55.3 ἀκρόθινα διελὼν ἔθυε καὶ
book 10.57.1 πενταετηρίδ’ ὅπως ἄρα
book 10.57.2 ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
book 10.57.3 νικαφορίαισί τε·
book 10.60.1

τίς δὴ ποταίνιον
book 10.60.2 ἔλαχε στέφανον
book 10.60.3 χείρεσσι ποσίν τε καὶ ἅρματι,
book 10.60.4 ἀγώνιον ἐν δόξᾳ θέμενος
book 10.63 __εὖχος, ἔργῳ καθελών;
book 10 στάδιον μὲν ἀρίστευσεν, εὐθὺν τόνον
book 10.65.1 ποσσὶ τˈρέχων, παῖς ὁ Λικυμνίου
book 10.65.2 Οἰωνός· ἶκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων·
book 10.66.1 ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·
book 10.66.2 Δόρυκˈλος δ’ ἔφερε πυγˈμᾶς τέλος,
book 10.66.3 Τίρυνθα ναίων πόλιν·
book 10.66.4 ἀν’ ἵπποισι δὲ τέτˈρασιν
book 10.70 ἀπὸ Μαντινέας Σᾶμος ὁ Ἁλιροθίου·
book 10.1 ἄκοντι {δὲ} Φράστωρ ἔλασε σκοπόν·
book 10.2 μᾶκος δὲ Νικεὺς ἔδικε πέτˈρῳ χέρα κυκλώσαις
book 10.72.1 ὑπὲρ ἁπάντων, καὶ συμμαχία θόρυβον
book 10.72.2 παραίθυξε μέγαν· ἐν δ’ ἕσπερον
book 10.72.3 ἔφλεξεν εὐώπιδος
book 10.75.1 σελάνας ἐρατὸν φάος.
book 10.75.2 ἀείδετο δὲ πὰν τέμενος τερπναῖσι θαλίαις
book 10.75.3 τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
book 10.75.4 ἀρχαῖς δὲ προτέραις ἑπόμενοι
book 10.78.1 καί νυν ἐπωνυμίαν χάριν
book 10.78.2 νίκας ἀγερώχου κελαδησόμεθα βροντάν
book 10.80.1 καὶ πυρπάλαμον βέλος
book 10.80.2 ὀρσικτύπου Διός,
book 10.80.3 ἐν ἅπαντι κράτει
book 10.80.4 αἴθωνα κεραυνὸν ἀραρότα·
book 10.80.5 χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον
book 10.84 __ἀντιάξει μελέων,
book 10.85.1 τὰ παρ’ εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
book 10.85.2 ἀλλ’ ὥτε παῖς ἐξ ἀλόχου πατρί
book 10.85.3 ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη,
book 10.87.1 μάλα δέ οἱ θερμαίνει φιλότατι νόον·
book 10.87.2 ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
book 10.87.3 ἐπακτὸν ἀλλότˈριον
book 10.90.1 θνᾴσκοντι στυγερώτατος·
book 10.90.2 καἴ ὅταν καλὰ {μὲν} ἔρξαις ἀοιδᾶς ἄτερ,
book 10.90.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἁγησίδαμ’, εἰς Ἀΐδα σταθμόν
book 10.90.1 ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ
book 10.93.1 βραχύ τι τερπνόν. τὶν δ’ ἁδυεπής τε λύρα
book 10.93.2 γλυκύς τ’ αὐλὸς ἀναπάσσει χάριν·
book 10.95.1 τρέφοντι δ’ εὐρὺ κˈλέος
book 10.95.2 κόραι Πιερίδες Διός.
book 10.95.3 ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος
book 10.95.4 Λοκρῶν ἀμφέπεσον, μέλιτι
book 10.95.5 εὐάνορα πόλιν καταβρέχων·
book 10.99 παῖδ’ ἐρατὸν 〈δ’〉 Ἀρχεστράτου
book 10.1 αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
book 10.2 βωμὸν παρ’ Ὀλύμπιον
book 10.3 κεῖνον κατὰ χˈρόνον
book 10.4 ἰδέᾳ τε καλόν
book 10.5 ὥρᾳ τε κεκραμένον, ἅ ποτε
book 10.105.1 ἀναιδέα Γανυμήδει θάνατον
book 10.105.2 ἆλκε σὺν Κυπˈρογενεῖ.
book 11.1 Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
book 11.2 χρῆσις· ἔστιν δ’ οὐρανίων ὑδάτων,
book 11.3 ὀμβρίων παίδων νεφέλας·
book 11.4 εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
book 11.5.1 ὑστέρων ἀρχὰ λόγων
book 11.5.2 τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς·
book 11.5.3 ἀφθόνητος δ’ αἶνος Ὀλυμπιονίκαις
book 11.5.4 οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
book 11.5.5 γλῶσσα ποιμαίνειν ἐθέλει,
book 11.10.1 ἐκ θεοῦ δ’ ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως.
book 11.10.2 ἴσθι νῦν, Ἀρχεστράτου
book 11.10.3 παῖ, τεᾶς, Ἁγησίδαμε, πυγˈμαχίας ἕνεκεν
book 11.10.4 κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
book 11.10.5 ἁδυμελῆ κελαδήσω,
book 11.15 Ζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
book 11.1 ἔνθα συγκωμάξατ’· ἐγγυάσομαι
book 11.2 ὔμμιν, ὦ Μοῖσαι, φυγόξεινον στρατόν
book 11.3 μήτ’ ἀπείρατον καλῶν
book 11.4 ἀκˈρόσοφόν τε καὶ αἰχματὰν ἀφίξε-
book 11.19 σθαι. τὸ γὰρ ἐμφυὲς οὔτ’ αἴθων ἀλώπηξ
book 11.20 οὔτ’ ἐρίβˈρομοι λέοντες διαλλάξαιντο ἦθος.
book 12.1

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,
book 12.2 Ἱμέραν εὐρυσθενέ’ ἀμφιπόλει, σώτειρα Τύχα.
book 12.3 τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαί
book 12.4 νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
book 12.5.1 κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
book 12.5.2 πόλλ’ ἄνω, τὰ δ’ αὖ κάτω
book 12.6a ψεύδη μεταμώνια τάμνοισαι κυλίνδοντ’ ἐλπίδες·
book 12.7.1 σύμβολον δ’ οὔ πώ τις ἐπιχθονίων
book 12.7.2 πιστὸν ἀμφὶ πˈράξιος ἐσσομένας εὗρεν θεόθεν,
book 12.7.3 τῶν δὲ μελλόντων τετύφˈλωνται φραδαί·
book 12.10.1 πολλὰ δ’ ἀνθρώποις παρὰ γˈνώμαν ἔπεσεν,
book 12.10.2 ἔμπαλιν μὲν τέρψιος, οἱ δ’ ἀνιαραῖς
book 12.10.3 ἀντικύρσαντες ζάλαις
book 12.12a ἐσλὸν βαθὺ πήματος ἐν μικˈρῷ πεδάμειψαν χρόνῳ.
book 12.13 υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν
book 12 ἐνδομάχας ἅτ’ ἀλέκτωρ συγγόνῳ παρ’ ἑστίᾳ
book 12.15.1 ἀκˈλεὴς τιμὰ κατεφυλλορόησε(ν) ποδῶν,
book 12.15.2 εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ’ ἄμερσε πάτˈρας.
book 12.15.3 νῦν δ’ Ὀλυμπίᾳ στεφανωσάμενος
book 12.15.4 καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ’, Ἐργότελες,
book 12.15.5 θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις ὁμι-
book 12.19 λέων παρ’ οἰκείαις ἀρούραις.
book 13.1 Τρισολυμπιονίκαν
book 13.2 ἐπαινέων οἶκον ἥμερον ἀστοῖς,
book 13.3 ξένοισι δὲ θεράποντα, γˈνώσομαι
book 13.4 τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
book 13.5.1 πρόθυρον Ποτειδᾶνος, ἀγˈλαόκουρον·
book 13.5.2 ἐν τᾷ γὰρ Εὐνομία ναίει κασι-
book 13.6.1 γˈνήτα τε, βάθρον πολίων ἀσφαλές,
book 13.6.2 Δίκα καὶ ὁμότˈροφος Εἰ-
book 13.7.1 ρήνα, τάμι’ ἀνδράσι πλούτου,
book 13.7.2 χρύσεαι παῖδες εὐβούλου Θέμιτος·
book 13.7.3 ἐθέλοντι δ’ ἀλέξειν
book 13.10.1 Ὕβριν, Κόρου ματέρα θˈρασύμυθον.
book 13.10.2 ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
book 13.10.3 εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
book 13.10.4 ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος,
book 13.10.5 ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν
book 13.14

νικαφόρον ἀγ˙λαΐαν ὤπασαν
book 13.15 ἄκραις ἀρεταῖς ὑπερελ-
book 13.15.1 θόντων ἱεροῖς ἐν ἀέθ˙λοις,
book 13.15.2 πολλὰ δ’ ἐν καρδίαις ἀνδρῶν ἔβαλον
book 13.15.3 Ὧραι πολυάνθεμοι ἀρ-
book 13.17.1 χαῖα σοφίσμαθ’. ἅπαν δ’ εὑρόντος ἔργον.
book 13.17.2 ταὶ Διωνύσου πόθεν ἐξέφανεν
book 13.17.3 σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;
book 13.20.1 τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,
book 13.20.2 ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα͜ δίδυμον
book 13.20.3 ἐπέθηκ’; ἐν δὲ Μοῖσ’ ἁδύπ˙νοος,
book 13.20.4 ἐν δ’ Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.
book 13 ὕπατ’ εὐρὺ ἀνάσσων
book 13.25.1 Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
book 13.25.2 γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
book 13.25.3 καὶ τόνδε λαὸν ἀβ˙λαβῆ νέμων
book 13.25.4 Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
book 13.25.5 δέξαι τέ οἱ στεφάνων ἐγκώμιον
book 13.29 τεθ˙μόν, τὸν ἄγει πεδίων ἐκ Πίσας,
book 13.30 πενταέθλῳ ἅμα σταδίου
book 13.30 νικῶν δρόμον· ἀντεβόλησεν
book 13.1 τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.
book 13.2 δύο δ’ αὐτὸν ἔρεψαν
book 13.3 πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
book 13.4 φανέντα· Νέμεά τ’ οὐκ ἀντιξοεῖ·
book 13.35.1 πατ˙ρὸς δὲ Θεσσαλοῖ’ ἐπ’ Ἀλφεοῦ
book 13.35.2 ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,
book 13.35.3 Πυθοῖ τ’ ἔχει σταδίου τιμὰν διαύ-
book 13.37.1 λου θ’ ἁλίῳ ἀμφ’ ἑνί, μηνός τέ οἱ
book 13.37.2 τωὐτοῦ κρανααῖς ἐν Ἀθά-
book 13.38.1 ναισι τ˙ρία ἔργα ποδαρκής
book 13.38.2 ἁμέρα θῆκε κάλλιστ’ ἀμφὶ κόμαις,
book 13.40 Ἑλλώτια δ’ ἑπτάκις· ἐν
book 13.40.1 δ’ ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
book 13.40.2 Πτοιοδώρῳ σὺν πατρὶ μακ˙ρότεραι
book 13.40.3 Τερψίᾳ θ’ ἕψοντ’ Ἐριτίμῳ τ’ ἀοιδαί·
book 13.40.4 ὅσσα τ’ ἐν Δελφοῖσιν ἀριστεύσατε,
book 13.40.5 ἠδὲ χόρτοις ἐν λέοντος, δηρΐομαι πολέσιν
book 13.45.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ πλήθει καλῶν· ὡς μὰν σαφές
book 13.45.2 οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθ᾽μόν.
book 13.1 ἕπεται δ᾽ ἐν ἑκάστῳ
book 13.2 μέτρον· νοῆσαι δὲ καιρὸς ἄριστος.
book 13.3 ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλείς
book 13.1 μῆτίν τε γαρύων παλαιγόνων
book 13.2 πόλεμόν τ᾽ ἐν ἡρωΐαις ἀρεταῖσιν
book 13.3 οὐ ψεύσομ᾽ ἀμφὶ Κορίνθῳ, Σίσυφον
book 13.52.1 μὲν πυκ᾽νότατον παλάμαις ὡς θεόν,
book 13.52.2 καὶ τὰν πατρὸς ἀντία Μή-
book 13.53.1 δειαν θεμέναν γάμον αὐτᾷ,
book 13.53.2 ναΐ σώτειραν Ἀργοῖ καὶ προπόλοις·
book 13.55 τὰ δὲ καί ποτ᾽ ἐν ἀλκᾷ
book 13.1 πρὸ Δαρδάνου τειχέων ἐδόκησαν
book 13.2 ἐπ᾽ ἀμφότερα μαχᾶν τάμνειν τέλος,
book 13.3 τοὶ μὲν γένει φίλῳ σὺν Ἀτ᾽ρέος
book 13.4 Ἑλέναν κομίζοντες, οἱ δ᾽ ἀπὸ πάμπαν
book 13.60 εἴργοντες· ἐκ Λυκίας δὲ Γ᾽λαῦκον ἐλ-
book 13.60.1 θόντα τ᾽ρόμεον Δαναοί. τοῖσι μέν
book 13.60.2 ἐξεύχετ᾽ ἐν ἄστεϊ Πει-
book 13.61.1 ράνας σφετέρου πατρὸς ἀρχάν
book 13.61.2 καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·
book 13.61.3 ὃς τᾶς ὀφιώδεος υἱ-
book 13.63.1 όν ποτε Γοργόνος ἦ πόλλ᾽ ἀμφὶ κρουνοῖς
book 13.63.2 Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
book 13.65.1 πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινόν
book 13.65.2 Παλλὰς ἤνεγκ᾽, ἐξ ὀνείρου δ᾽ αὐτίκα
book 13.65.3 ἦν ὕπαρ, φώνασε δ᾽· ‘Εὕδεις Αἰολίδα βασιλεῦ;
book 13.65.4 ἄγε φίλτρον τόδ᾽ ἵππειον δέκευ,
book 13.65.5 καὶ Δαμαίῳ νιν θύων ταῦρον ἀργάεντα πατρὶ δεῖξον.‘
book 13.70.1 κυάναιγις ἐν ὄρφνᾳ
book 13.70.2 κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν
book 13.70.3 ἔδοξεν· ἀνὰ δ᾽ ἔπαλτ᾽ ὀρθῷ ποδί.
book 13.70.4 παρκείμενον δὲ συλλαβὼν τέρας,
book 13.70.5 ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
book 13.75 δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευ-
book 13.75.1 τὰν πράγματος, ὥς τ᾽ ἀνὰ βωμῷ θεᾶς
book 13.75.2 κοιτάξατο νύκτ᾽ ἀπὸ κεί-
book 13.76.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νου χρήσιος, ὥς τέ οἱ αὐτά
book 13.76.2 Ζηνὸς ἐγχεικεραύνου παῖς ἔπορεν
book 13.76.3 δαμασίφˈρονα χρυσόν.
book 13.76.4 ἐνυπˈνίῳ δ’ ᾇ τάχιστα πιθέσθαι
book 13.80 κελήσατό νιν, ὅταν δ’ εὐρυσθενεῖ
book 13.1 καρταίποδ’ ἀναρύῃ Γαιαόχῳ,
book 13.2 θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
book 13.3 τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ’ ὅρ-
book 13.83.1 κον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
book 13.83.2 ἤτοι καὶ ὁ καρτερὸς ὁρ-
book 13.84 μαίνων ἕλε Βελλεροφόντας,
book 13.85.1 φάρμακον πραῢ τείνων ἀμφὶ γένυι,
book 13.85.2 ἵππον πτερόεντ’· ἀναβαὶς δ’
book 13.86.1 εὐθὺς ἐνόπˈλια χαλκωθεὶς ἔπαιζεν.
book 13.86.2 σὺν δὲ κείνῳ καί ποτ’ Ἀμαζονίδων
book 13.86.3 αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου
book 13.86.4 τοξόταν βάλλων γυναικεῖον στρατόν
book 13.90.1 καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
book 13.90.2 διασωπάσομαί οἱ μόρον ἐγώ·
book 13.90.3 —τὸν δ’ ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.
book 13.1 ἐμὲ δ’ εὐθὺν ἀκόντων
book 13.2 ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρή
book 13.95.1 τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
book 13.95.2 Μοίσαις γὰρ ἀγˈλαοθˈρόνοις ἑκών
book 13.95.3 Ὀλιγαιθίδαισίν τ’ ἔβαν ἐπίκουρος.
book 13.95.4 Ἰσθμοῖ τά τ’ ἐν Νεμέᾳ παύρῳ ἔπει
book 13.98.1 θήσω φανέρ’ ἀθˈρό’, ἀλαθής τέ μοι
book 13.98.2 ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
book 13.1 ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ.
book 13.2 τὰ δ’ Ὀλυμπίᾳ αὐτῶν
book 13.3 ἔοικεν ἤδη πάροιθε λελέχθαι·
book 13.4 τά τ’ ἐσσόμενα τότ’ ἂν φαίην σαφές.
book 13.5 νῦν δ’ ἔλπομαι μέν, ἐν θεῷ γε μάν
book 13.105.1 τέλος· εἰ δὲ δαίμων γενέθˈλιος ἕρποι,
book 13.105.2 Δὶ τοῦτ’ Ἐνυαλίῳ τ’ ἐκδώσομεν
book 13.106.1 πράσσειν. τὰ δ’ ὑπ’ ὀφˈρύϊ Παρνασσίᾳ
book 13.106.2 ἕξ· Ἄργεΐ θ’ ὅσσα καὶ ἐν
book 13.107.1 Θήβαις· ὅσα τ’ Ἀρκάσιν ἀνάσσων
book 13.107.2

μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ·
book 13.107.3 Πέλλανά τε καὶ Σικυὼν
book 13.109 καὶ Μέγαρ’ Αἰακιδᾶν τ’ εὐερκὲς ἄλσος
book 13.110.1 ἅ τ’ Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών
book 13.110.2 ταί θ’ ὑπ’ Αἴτνας ὑψιλόφου καλλίπλουτοι
book 13.110.3 πόλιες ἅ τ’ Εὔβοια· καὶ πᾶσαν κάτα
book 13.110.4 Ἑλλάδ’ εὑρήσεις ἐρευνῶν μάσσον’ ἢ ὡς ἰδέμεν.
book 13.110.5 ἄγε κούφοισιν ἔκ˙νευσον ποσίν·
book 13.115 Ζεῦ τέλει’, αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν.
book 14.1 Καφισίων ὑδάτων
book 14.2 λαχοῖσαι αἵτε ναίετε καλλίπωλον ἕδ˙ραν,
book 14.3 ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
book 14.4 Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
book 14.5.1 κλῦτ’, ἐπεὶ εὔχομαι· σὺν γὰρ ὑμῖν τά 〈τε〉 τερπνὰ καί
book 14.5.2 τὰ γ˙λυκέ’ ἄνεται πάντα βροτοῖς,
book 14.5.3 εἰ σοφός, εἰ καλός, εἴ τις ἀγ˙λαὸς ἀνήρ.
book 14.5.4 οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
book 14.5.5 κοιρανέοντι χοροὺς
book 14.9 οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
book 14.10.1 ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι πάρα
book 14.10.2 Πύθιον Ἀπόλλωνα θ˙ρόνους,
book 14.10.3 αἰέναον σέβοντι πατ˙ρὸς Ὀλυμπίοιο τιμάν.
book 14.1 〈ὦ〉 πότ˙νι’ Ἀγ˙λαΐα
book 14.2 φιλησίμολπέ τ’ Εὐφροσύνα, θεῶν κρατίστου
book 14.15.1 παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε
book 14.15.2 ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ’ εὐμενεῖ τύχᾳ
book 14.15.3 κοῦφα βιβῶντα· Λυδῷ γὰρ Ἀσώπιχον ἐν τρόπῳ
book 14.15.4 ἐν μελέταις τ’ ἀείδων ἔμολον,
book 14.15.5 οὕνεκ’ Ὀλυμπιόνικος ἁ Μινύεια
book 14.20.1 σεῦ ἕκατι. μελαντειχέα νῦν δόμον
book 14.20.2 Φερσεφόνας ἔλθ’, Ἀ-
book 14.21.1 χοῖ, πατρὶ κ˙λυτὰν φέροις’ ἀγγελίαν,
book 14.21.2 Κλεόδαμον ὄφ˙ρ’ ἰδοῖς’, υἱὸν εἴπῃς ὅτι οἱ νέαν
book 14.21.3 κόλποις παρ’ εὐδόξοις Πίσας
book 14 ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.